ψος ἀναβάσεως, ὕστερον δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη. ἢ ὡς Ερατοσθένης φησὶν ἄξων Ἀθήνησιν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. Πλούταρχος δὲ ἐν τῷ Σόλωνος βίῳ περὶ αὐτοῦ λέγων, ἰσχὺν δέ φησι τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἔδωκεν ἐνιαυτούς. καὶ ἐγκατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους. ὧν ἔτι κατ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανά τινα διεσώζετο. καὶ προσηγορεύθησαν ὡς Αριστοτέλης φησὶ κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς, εἴρηκέ που πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος. οἷσι νῦν φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν. ἔνιοι δέ φασιν ἰδίως ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται κύρβεις. ἄξονας δὲ, τοὺς ἄλλους ὠνομάσθαι. Κρόταλον] εὔστομος καὶ εὔγλωττος ὡς τὰ κρόταλα. λάλος. Κίναδος.] εἶδός τι θηρίου. καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου. τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. οἱ δὲ, πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. καὶ Σοφοκλῆς (ἐν Αἴαντι μαστιγοφόρῳ) ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου. κακοῦργος οὖν φησιν ὡς ἀλώπηξ. τινὲς δὲ, κίναδος ζῶον μικρὸν τὸ αἰδοῖον εἰσωθοῦν καὶ ἐξωθοῦν. Τρῦμη.] ὁ περιτετριμμένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. τρῦμα καὶ τρῆμα τὴν ὀπὴν φασι. θέλει οὖν εἰπεῖν λεπτολόγος καὶ εὔστομος ὡς τρύπανον. τρύμη οὖν, τρύπανον ὡς πάντων περιγινόμενον, ἢ τριὸς καὶ ταλαίπωρος. ἢ τριμαλιά.

Μάσθλης. εἴρων. γλοιός. ἀλαζών.
Κέντρων. μιαρός.
Στρόφις. ἀργαλέος. ματιολοιχός.
Ταῦτ' εἴ με λέγουσιν ἀπαντῶντες,
Δρώντων ἀτεχνῶς ὅ, τι χρήζουσι.
Κεἰ βούλονται νὴ τὴν Δήμη-
τρ' ἐκ μοῦ χορδὴν
Τοῖς φροντισταῖς παραθέντων.

*Veteratorem, malitiosum,*
*Simulatorem, iactabundum,*
*Lubricum item, centonem, atque hominem*
*Spurcum & fœdum,*
*Versutum, difficilem, friuolum.*
*His si me criminibus lacerent*
*Occursantes: faciant, vt lubet:*
*Et si voluerint, per Cererem,*
*Ex me chordam*
*Isti apponunto magistris.*

Σχόλια. Μάσθλης.] ἰδίως καλεῖται ὁ ἱταμός. ὁ κατειργασμένος καὶ ἔκλυτος. μάσθλης οὖν ὁ πολυγνώμων καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἀλλ' ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. μάσθλης οὖν ὁ μεμαλαγμένος λῶρος. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. Εἴρων.] πάντα παίζων ὑπο ειτης εἰρωνευόμενος. Γλοιός.] τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος. ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθαίνειν πέφυκε. τοιοῦτος οὖν ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα διολισθαίνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δὲ τοῦ δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας, καὶ μηδὲν σταθερὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγγελλομένους, ἄλλα δὲ πράττοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. ἡ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. ἄλλως. γλοιὸς, ἐπὶ τοῦ ῥυπαροῦ καὶ μικροῦ καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγυς τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸ μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν καὶ εὐμετάβολον. Κέντρων.] φανερὸς κλέπτης. ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσιν. ἢ κέντρων. τουτέστι χαλεπὸς καὶ φευκτός. καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν τοὺς τοῖς κέντροις τύπτοντας. κέντρων δέ ἐστι τὸ ἐπιβαλλόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν ῥακκίων καὶ ἐπίσαγμα τῶν ὄνων. ἄλλως. οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα καλοῦνται κέντρωνες. οἱ δὲ τὸ λοίδορον ἀκούουσιν. οἱονεὶ κεντροτύπος ὁ κεκεντρωμένος καὶ φευκτός. Στρόφις.] ἀπὸ τοῦ στρόφιγγος ἡ μεταφορὰ ὅτι εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι. λέγεται δὲ στρόφιγξ καὶ τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥστε τοῦ ὕδατος ἐπέχειν ὅτε τις θελήσει καὶ αὖ πάλιν ἀνιέναι φοράν. Ματιολοιχός.] ἤτοι ὁ κρουσιμέτρης. μάτιον γὰρ εἶδος μέτρου. ἢ ὁ φειδωλὸς καὶ σμικρολόγος. ἢ ὁ μυκτηριστής. ὀξύνει δὲ Ηρωδιανός. ἢ μάταιον τὸ ἐλάχιστον. ἤτοι τὸν μάταια βουλευόμενον καὶ λοχῶντα.

Bisetvs. Δρώντων] δρώντων, καὶ παραθέντων ἀττικῶς ἀντὶ τοῦ, δράτωσαν, παραθέτωσαν.

---

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ
### Σκηνὴ ἕκτη.
### ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΧΟΡΟΣ.

## ACTVS I. SCENA VI.
### Socrates, Strepsiades, Chorvs.

Σω. Λῆμα μὲν πάρεστι τῷδε
Οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον. ἴθι δὴ ὡς
Ταῦτα μαθὼν παρ' ἐμοῦ,

*HVic adest virile pectus*
*Non iners, sed impigrum. at tu iam dehinc*
*Scito, quòd hæc capiens,*

Σχόλια. Λῆμα μὲν πάρεστι.] ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία, ἐκ κώλων κ. ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ τρίτον δακτυλικὸν πενθημιμερές. τὸ τέταρτον ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ὃ καλεῖται Φερεκράτειον ἀτελές. τὸ ἕκτον ἰαμβικὴ βάσις. τὸ ἕβδομον, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον, ὅμοιον. τὸ ἔνατον ἰαμβικὸν πενθημιμερές, ὃ προῦχον καλεῖται. τὸ δέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον τροχαϊκὸν πενθημιμερές. τὸ τρισκαιδέκατον ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἐννάτῳ. τὸ πεντεκαιδέκατον δακτυλικὸν ἑφθημιμερὲς, ὃ Αλκμάνειον καλεῖται. τὸ ἑκκαιδέκατον ὅμοιον τῷ τετάρτῳ. τὸ ἑπτακαιδέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον, ὅμοιον τῷ ἐννάτῳ. τὸ ἐννεακαιδέκατον ὁ